177 Κακῶν πανήγυρις: ἐπὶ μεγίστων. Πισίδης· καὶ πάντες ὥσπερ ἐν κακῶν πανηγύρει, ἄλλος κατ᾽ ἄλλην συμφορὰν ἐδυστύχει. Prov.?

178 Κακώσεως: δίκης ἐστὶν ὄνομα ταῖς τε ἐπικλήροις κατὰ τῶν γεγαμηκότων καὶ κατὰ τῶν παίδων τοῖς γονεῦσι καὶ κατὰ τῶν ἐπιτρόπων τοῖς ὑπὲρ τῶν ὀρφανῶν. οὕτω Δημοσθένης καὶ Λυσίας καὶ Ὑπερίδης. Harp.

179 Κακῶς εἰδότες: ἀντὶ τοῦ ἀγνοοῦντες. Ἰσοκράτης ἐν τῷ Περὶ εἰρήνης. Harp.

180 Κάκτανε: καταφόνευσον. Δ

181 Κακοῖς ἐπισωρεύων κακά· Ὦχος ὁ Πέρσης Αἴγυπτον ἠνδραποδίσατο καὶ ἀπέκτεινε τὸν Ἆπιν καὶ κατέκοψε τὸν Μέμφιν, κακοῖς ἐπισωρεύων κακά. E

182 Κακοὶ τῆς πονηρίας πίνουσι τὴν ὁμίχλην: ἐπὶ τῶν κατὰ ἀξίαν τιμωρουμένων. Prov.

183 Κακύνειν τὸν πηλόν: τουτέστι τὸν ἄξιον ὕβρεως ὑβρίζειν.

184 Κἄκχεζεν: Ἀριστοφάνης ἀντὶ τοῦ καὶ ἀπεπάτει. Ar.

185 Κακχεῦσαι: καταβαλεῖν. Δ

186 Κᾶλα: τὰ ξύλα. Σ

187 Καλαβρία: χώρα. Δ

188 Καλαβρία: νῆσος πλησίον Τροιζῆνος. ἐκαλεῖτο δὲ πρότερον Εἰρήνη. Harp

189 Καλάβροψ: βουκολικὴ ῥάβδος. βαρυτέρα οὖσα τῇ κεφαλῇ ἀπὸ τοῦ κάτω ῥέπειν. εὐθύνειν τὸ θηρίον καλάβροπι (Φιλόστρατος)· ἣν ὁρᾷς αὐτὸν ἐμβάλλοντα τῷ θηρίῳ ὡς ἄγκυραν. Δ

190 Καλὰ δὴ παταγεῖς: ἀντὶ τοῦ λέγεις. Σ

191 Κάλαϊς: ὄνομα κύριον. καὶ Καλάϊνον χρῶμα. Αἰσχύλος· ἐν ποικίλοις χρώμασιν. Δ Ecl.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id413864146/21 UNIVERSITÄT LEIPZIG